εἰσερχόμενοι, ἐν τῇ πιθάκναις ἢ ἐν τοῖς σπηλαίοις ᾤκουν τῇ σπάνει τῶν οἰκημάτων. οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι. Γυπαείοις.] εἶδος ὀρνέου γύπες. ἔπαιξε δὲ τὸ ὄνομα διὰ τὸ ἐπιφερόμενον. δοκεῖ γάρ πως παρόμοια τὰ ὀνόματα ταῦτα εἶναι γυπαείοις καὶ πυργιδίοις. ἢ διὰ τὸ τοὺς ὄρνις τούτους μάλιστα τοῖς πύργοις ἐπικαθῆσθαι, καὶ τοῖς τείχεσιν εἰς οὓς οἱ Ἀθηναῖοι ἐκάθευδον διὰ τὸν πόλεμον φρουροῦντες τὴν πόλιν. ἄλλως. ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ στενοῖς χωρείοις. Κρατῖνος δέ φησιν, ὅτι πᾶσαν στενὴν κατάδυσιν οὕτως ὠνόμαζον. Ἔτος ὄγ-

A δοον.] τοσαῦτα γὰρ ἔτη εἶχον πολεμοῦντες. Οὐκ ἐλεαίρεις.] οὐ κατοικτείρεις. δείκνυσι δὲ διὰ τούτων, ὅτι ὁ κωλύων παύσασθαι τὸν πόλεμόν ἐστιν ὁ Κλέων. ὅπερ οὖν καὶ Θουκυδίδης ἱστορεῖ διὰ τούτων. ἐπεὶ καὶ ἡ ἐν Ἀμφιπόλει ἧττα τοῖς Ἀθηναίοις ἐγένετο. καὶ τεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφότεροι ἠναντιοῦντο τῇ εἰρήνῃ. ὁ μὲν, διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν. ὁ δὲ γενομένης εὐτυχίας καταφανέστερός τε νομίζων εἶναι κακουργῶν καὶ ἀξιοπιστότερος διαβάλλων.

B

Ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. Ἀρχεπτολέμου δὲ φέροντος
Τὴν εἰρήνην ἐξεσκέδασας. τὰς πρεσβείας τ' ἀπελαύνεις,
Ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.
Κλ. Ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν, C
Ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
Ἢν ἀναμείνῃ. πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
Ἐξευρίσκων εὖ καὶ μιαρῶς, ὁπόθεν τὸ τριώβολον ἕξει.
Ἀλλ. Οὐχ ἵνα γ' ἄρξῃ, μὰ Δί', Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον D
Σὺ μὲν ἁρπάσῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων, ὁ δὲ δῆμος
Ὑπὸ τοῦ πολέμου, καὶ τῆς ὁμίχλης, ἃ πανουργεῖς, μὴ καθορᾷ σου,
Ἀλλ' ὑπ' ἀνάγκης ἅμα, καὶ χρείας, καὶ μισθοῦ πρὸς σὲ κεχήνῃ.
Εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ, E
Καὶ χῖδρα φαγὼν ἀναθαρρήσῃ, καὶ στεμφύλων εἰς λόγον ἔλθῃ,
Γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου.

*Sed eum, vi constrictum emulges. quid? cùm dux bellicus urbi*
*Pacem offerret: tu disiecisti: & legatos repulisti:*
*Pedibusque explosisti: qui hortabantur nos fœdera inire.*
*CL. Nempe vt Græcis omnibus imperitares, feci: quia diuum*
*Responsa hoc promittunt, quòd populus hic in media Arcadia olim*
*Pro quinque obolis sit iudicium dictaturus: mala (belli*
*Si forti animo toleret, sed ego omnino populum alamque colamque:*
*Et per fas atque nefas inueniam, vnde triobolum habeat ipse.*
*AG. Non, ita me Deus amet, hoc tu prospicis, vt populus dominetur (captes,*
*Arcadiæ: sed magis, vt tu diripias, & munera*
*Populus autem præ bello & tenebris non videat, quid agas, tu*
*Astute homo: sed præ inopia, & mercede ad te spectet hianti*
*Ore. vbi verò in agrum hic digressus, pacificè degerit æuum,*
*Seque leguminibus recreârit, fraciumque accesserit esus.*
*Tum denique comperiet, qualia tu bona præcideris illi,*
*Propter militiæ stipendia: mox toruus, & ore seuerus*

Σχόλια. Βλίττεις.] ἀμέλγεις. βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων. καὶ πειράζειν καὶ τὸ ψηλαφᾶν. καὶ τὸ ἐκπιέζειν. τὰ κηρία τῶν μελισσῶν θλίβειν. Ἀρχεπτολέμου δὲ φέροντος.] παρ' ἱστορίαν τοῦ Ἀρχεπτολέμου ἐμνημόνευσεν. ὄγδοον γὰρ ἔτος ἔχοντος τοῦ πολέμου τούτου, ἔτι ζῶντος τοῦ Κλέωνος, ἐνιαύσιον ἐποιήσαντο πρὸς ἀλλήλους ἐκεχειρίαν οἱ Ἀθηναῖοι καὶ Πελοποννήσιοι, πρεσβείαν πέμψαντες πρὸς ἀλλήλους. οὐ μὴν Ἀρχεπτολέμου πρεσβεύοντός τινος. ἀλλὰ τῶν Λακεδαιμονίων ἦν πρεσβευτὴς, Ταῦρος. Ἐχετιμίδης. Ἀθηναῖος. Περικλείδας. Αἰνείας. Σισυφαμήδας Ἀριστοδήμου. Σικυωνίων δὲ, Δημότιμος Ναυκράτου. Μενεκράτης Ἀμφιδώρου. Ἐπιδαυρείων δὲ. Ἀμφίας. Ἀθηναίων δὲ στρατηγοὶ, Νικίας ὁ Νικηράτου. Αὐτοκλῆς Τολμαίου. ἐγένετο δὲ ὁ πόλεμος ἐπὶ εἰκοσικαίδεκα ἔτη. καὶ οὕτως ἡ πρεσβεία τοῦ Κλέωνος ζῶντος, ἡ εἰρήνη μετ' ἐνιαυτὸν ἐγένετο. εἰκὸς οὖν Ἀρχεπτολέμου μνημονεῦσαι, ἵνα μᾶλλον ἔξαρχον ἐπιδείξῃ τοῦ πολέμου τὸν Κλέωνα καὶ Ἀρχεπτολέμου εἰρήνην

F διδόντος. ἐξεσκέδασας δὲ ἀντὶ τοῦ διετάραξας. δείκνυσιν οὖν ὅτι ἐστὶν ἦν αἴτιος τούτου. Ῥαθαπυγίζων.] τῇ πυγῇ ῥόθον ποιῶν. τουτέστι πυγὴν τῇ χειρὶ παίων ἢ τῷ ποδὶ τύπτων. ἄλλως. λάθρα τύπτων κατὰ τῆς πυγῆς τῇ πλατείᾳ χειρὶ καὶ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. γελοίου δὲ χάριν τούτῳ ἐχρήσατο. Προκαλοῦνται.] παρέχουσιν. εὐτρεπίζουσιν. εὐχαρῶς δὲ τῷ προκαλοῦνται ἐχρήσατο, ἵνα μᾶλλον τοὺς Λακεδαιμονίους ἐπιδικαζομένους τῆς εἰρήνης δείξῃ καὶ ἐπιθυμοῦντας. Ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ.] νικήσαντα τοὺς Πελοποννησίους, δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν, G πεντώβολον ἀλλ' οὐ τριώβολον. Ἢν ἀναμείνῃ.] ἐὰν ὑπομείνῃ καὶ πολεμεῖν μὴ ὀκνήσῃ. Εὖ καὶ μιαρῶς.] ἀλλήλοις ἐναντία. εἰ γὰρ εὖ, πῶς μιαρῶς; εἰ δὲ μιαρῶς, πῶς εὖ; πλὴν εἰ μὴ τοῦτο λέγει. ὅτι ἀνενδεῶς τὸ τριώβολον αὐτῷ φροντίσω καὶ ποιήσω λαμβάνειν. οὐ περιεργαζόμενος, οὔτε εἰ ἀπὸ δικαίου, οὔτε εἰ ἀπὸ ἀδίκου πορισθήσεται τὰ πράγματα. πιθανῶς δὲ προσφέρει τὰς ὑποσχέσεις τοῦ Κλέω-